BLOOMSBURY

# *Histories*, 2.2, 69–70, 129–33, 31–2

# Psammeticus; Crocodiles; Mycerinus; Pygmies

# 2022–2023 Prescription

οἱ Αἰγύπτιοι, πρὶν μὲν ἢ Ψαμμήτιχον σφῶν βασιλεῦσαι, ἐνόμιζον ἑαυτοὺς πρώτους γενέσθαι πάντων ἀνθρώπων· ἐπειδὴ δὲ Ψαμμήτιχος βασιλεύσας ἠθέλησεν εἰδέναι οἵτινες γένοιντο πρῶτοι, ἀπὸ τούτου χρόνου νομίζουσι Φρύγας προτέρους γενέσθαι ἑαυτῶν, τῶν δὲ ἄλλων ἑαυτούς.

Ψαμμήτιχος δὲ ὡς οὐκ ἐδύνατο πυνθανόμενος πόρον οὐδένα τούτου ἀνευρεῖν, οἳ γένοιντο πρῶτοι ἀνθρώπων, ἐπιτεχνᾶται τοιόνδε. παιδία δύο νεογνὰ ἀνθρώπων τῶν ἐπιτυχόντων δίδωσι ποιμένι τρέφειν, ἐντειλάμενος μηδένα ἀντίον αὐτῶν μηδεμίαν φωνὴν ἱέναι, ἐν στέγῃ δὲ ἐρήμῃ ἐφ᾽ ἑαυτῶν

BLOOMSBURY

κεῖσθαι αὐτά, καὶ ἐν ὥρᾳ τὸν ποιμένα ἐπάγειν αὐτοῖς αἶγας, πλήσαντα δὲ τοῦ γάλακτος τἆλλα διαπράττεσθαι.

ταῦτα δ′ ἐποίει τε καὶ ἐνετέλλετο ὁ Ψαμμήτιχος, ἐθέλων ἀκοῦσαι ἥντινα φωνὴν ῥήξουσι πρώτην οἱ παῖδες, ἀπαλλαχθέντων τῶν ἀσήμων κνυζημάτων. ἅπερ οὖν καὶ ἐγένετο· ὡς γὰρ διετὴς χρόνος ἐγεγόνει, τῷ ποιμένι ἀνοίγοντι τὴν θύρην καὶ εἰσιόντι τὰ παιδία ἀμφότερα προσπίπτοντα ‘βεκὸς’ ἐφώνουν, ὀρέγοντα τὰς χεῖρας.

τὰ μὲν δὴ πρῶτα ἀκούσας ἥσυχος ἦν ὁ ποιμήν· ὡς δὲ πολλάκις φοιτῶντι αὐτῷ καὶ ἐπιμελομένῳ πολὺ ἦν τοῦτο τὸ ἔπος, οὕτω δὴ σημήνας τῷ δεσπότῃ ἤγαγε τὰ παιδία εἰς ὄψιν τὴν ἐκείνου. ἀκούσας δὲ καὶ αὐτὸς ὁ Ψαμμήτιχος,

ἐπυνθάνετο οἵτινες ἀνθρώπων ‘βεκός’ τι καλοῦσι· πυνθανόμενος δὲ ηὕρισκε Φρύγας καλοῦντας τὸν ἄρτον. οὕτω συνεχώρησαν Αἰγύπτιοι, τοιούτῳ σταθμησάμενοι πράγματι, τοὺς Φρύγας πρεσβυτέρους εἶναι ἑαυτῶν.

τοῖς μὲν δὴ τῶν Αἰγυπτίων ἱεροί εἰσιν οἱ κροκόδειλοι, τοῖς δ′ οὔ, ἀλλ′ ἅτε πολεμίους περιέπουσι. οἱ δὲ περί τε Θήβας καὶ τὴν Μοίρεως λίμνην οἰκοῦντες καὶ κάρτα ἡγοῦνται αὐτοὺς εἶναι ἱερούς. ἕνα δὲ ἑκάτεροι τρέφουσι κροκόδειλον, δεδιδαγμένον εἶναι χειροήθη· ἀρτήματα δὲ εἰς τὰ ὦτα ἐνθέντες καὶ ἀμφιδέας περὶ τοὺς προσθίους πόδας, καὶ σιτία ἀποτακτὰ διδόντες καὶ ἱερεῖα, περιέπουσιν ὡς κάλλιστα ζῶντας· ἀποθανόντας δὲ ταριχεύοντες θάπτουσιν ἐν ἱεραῖς θήκαις.

οἱ δὲ περὶ Ἐλεφαντίνην πόλιν οἰκοῦντες καὶ ἐσθίουσιν αὐτούς, οὐχ ἡγούμενοι ἱεροὺς εἶναι. ἄγραι δὲ αὐτῶν πολλαὶ καθεστήκασι καὶ παντοῖαι· ἣ δ′ ἔμοιγε δοκεῖ ἀξιωτάτη ἀφηγήσεως εἶναι ταύτην γράφω. ἐπειδὰν νῶτον ὑὸς δελεάσῃ τις περὶ ἄγκιστρον, μεθίησι εἰς μέσον τὸν ποταμόν· αὐτὸς δὲ ἐπὶ τοῦ χείλους τοῦ ποταμοῦ ἔχων δέλφακα ζωήν, ταύτην τύπτει. ἐπακούσας δὲ τῆς φωνῆς ὁ κροκόδειλος ἵεται κατὰ τὴν φωνήν· ἐντυχὼν δὲ τῷ νώτῳ καταπίνει, οἳ δὲ ἕλκουσι. ἐπειδὰν δὲ ἐξελκυσθῇ εἰς γῆν, πρῶτον ἁπάντων ὁ θηρευτὴς πηλῷ κατέπλασεν αὐτοῦ τοὺς ὀφθαλμούς· τοῦτο δὲ ποιήσας κάρτα εὐπετῶς τὰ λοιπὰ χειροῦται· μὴ ποιήσας δὲ σὺν πόνῳ.

BLOOMSBURY

Μυκερίνῳ τὰ μὲν τοῦ πατρὸς ἔργα ἀφήνδανε· ὁ δὲ τά τε ἱερὰ ἀνέῳξε, καὶ τὸν λεών, τετρυμένον εἰς τὸ ἔσχατον κακοῦ, ἀνῆκε πρὸς ἔργα τε καὶ θυσίας· δίκας δέ αὐτοῖς πάντων βασιλέων δικαιοτάτας ἔκρίνεν. ὄντι δὲ ἠπίῳ τῷ Μυκερίνῳ κατὰ τοὺς πολίτας καὶ ταῦτα ἐπιτηδεύοντι πρῶτον κακῶν ἦρξεν ἡ θυγάτηρ ἀποθανοῦσα, ἣ μόνον αὐτῷ ἦν ἐν τοῖς οἰκίοις τέκνον. μετὰ δὲ τὸ τῆς θυγατρὸς πάθος, δεύτερα τούτῳ τῷ βασιλεῖ τάδε ἐγένετο. ἦλθεν αὐτῷ μαντεῖον ἐκ Βουτοῦς πόλεως, ὡς μέλλοι ἓξ ἔτη μόνον βιοὺς τῷ ἑβδόμῳ τελευτήσειν. ὁ δὲ δεινὸν ποιησάμενος ἔπεμψεν εἰς τὸ μαντεῖον τῷ θεῷ ὀνείδισμα, ἀντιμεμφόμενος τάδε, ‘ὁ μὲν πατὴρ ἐμοῦ καὶ πάτρως, ἀποκλείσαντες τὰ ἱερά, καὶ θεῶν οὐ μεμνημένοι ἀλλὰ καὶ τοὺς ἀνθρώπους φθείροντες,

ἐβίωσαν ἐπὶ πολὺν χρόνον· ἐγὼ δ᾽ εὐσεβὴς ὢν μέλλω ταχέως οὕτω τελευτήσειν.’

ἐκ δὲ τοῦ χρηστηρίου τούτου αὐτῷ δεύτερον ἦλθε λέγον, ‘τούτων ἕνεκα καὶ συνταχύνει σοι ὁ βίος· οὐ γὰρ πεποίηκας ὃ χρεὼν ἦν ποιεῖν. δεῖ γὰρ Αἴγυπτον κακοῦσθαι ἐπ᾽ ἔτη πεντήκοντά τε καὶ ἑκατόν· καὶ οἱ μὲν δύο βασιλεῖς οἱ πρὸ σοῦ γενόμενοι ἔμαθον τοῦτο, σὺ δὲ οὔ.’

ταῦτα ἀκούσας ὁ Μυκερῖνος, ὡς κατακεκριμένων ἤδη οἱ τούτων, λύχνα ποιησάμενος πολλά, ἀνάψας αὐτὰ ὅκως γίγνοιτο νύξ, ἔπινέ τε καὶ ηὐπάθει οὔθ᾽ ἡμέρης οὔτε νυκτὸς ἀνιείς, εἴς τε τὰ ἕλη καὶ τὰ ἄλση πλανώμενος καὶ ἵνα γῆς πυνθάνοιτο εἶναι ἐνηβητήρια ἐπιτηδειότατα. ταῦτα δὲ

ἐμηχανᾶτο ἐθέλων τὸ μαντεῖον ψευδόμενον ἀποδεῖξαι, ἵνα οἱ δώδεκα ἔτη ἀντὶ ἓξ ἐτῶν γένοιτο, τῶν νυκτῶν ἡμερῶν ποιουμένων.

μέχρι μὲν τεττάρων μηνῶν πλοῦ καὶ ὁδοῦ γιγνώσκεται ὁ Νεῖλος, πάρεξ τοῦ ἐν Αἰγύπτῳ ῥεύματος. ῥεῖ δ᾽ ἀφ᾽ ἑσπέρας τε καὶ ἡλίου δυσμῶν. τὸ δ᾽ ἀπὸ τοῦδε οὐδεὶς ἔχει σαφῶς φράσαι· ἔρημος γάρ ἐστιν ἡ χώρα αὕτη ὑπὸ καύματος. ἀλλὰ τάδε μὲν ἤκουσα ἀνδρῶν Κυρηναίων φαμένων ἐλθεῖν τε ἐπὶ τὸ Ἄμμωνος χρηστήριον καὶ ἀφικέσθαι εἰς λόγους Ἐτεάρχῳ τῷ Ἀμμωνίων βασιλεῖ· καί πως ἐκ λόγων ἄλλων ἀφίκοντο εἰς λέσχην περὶ τοῦ Νείλου, ὡς οὐδεὶς οἶδε τὰς πηγὰς αὐτοῦ. ὁ δὲ Ἐτέαρχος ἔφη ἐλθεῖν ποτε παρ᾽ ἑαυτὸν Νασαμῶνας ἄνδρας, οἵ, ἐρωτώμενοι εἴ τι ἔχουσι πλέον λέγειν περὶ τῶν

ἐρήμων τῆς Λιβύης, ἔφασαν παρ′ ἑαυτοῖς γενέσθαι ἀνδρῶν δυναστῶν παῖδας ὑβριστάς, οἳ ἄλλα τε μηχανῷντο ἀνδρωθέντας περιττὰ καὶ δὴ καὶ ἀποκληρώσειαν πέντε ἑαυτῶν ὀψομένους τὰ ἔρημα τῆς Λιβύης.

τῆς γὰρ Λιβύης τὰ μὲν κατὰ τὴν βορείαν θάλατταν, ἀπ′ Αἰγύπτου ἀρξάμενοι μέχρι Σολόεντος ἄκρας, ᾗ τελευτᾷ τῆς Λιβύης, οἰκοῦσι Λίβυες καὶ Λιβύων ἔθνη πολλά, πλὴν ὅσον Ἕλληνες καὶ Φοίνικες ἔχουσι· τὰ δὲ καθύπερθε τούτων θηριώδης ἐστὶν ἡ Λιβύη· τὰ δὲ καθύπερθε τῆς θηριώδους ψάμμος τέ ἐστὶ καὶ ἄνυδρος δεινῶς καὶ ἔρημος πάντων. οἱ οὖν νεανίαι, ὡς ἔφασαν οἱ Νασαμῶνες, ἀποπεμπόμενοι ὑπὸ τῶν ἡλίκων, ὕδατί τε καὶ σιτίοις εὖ ἐξηρτυμένοι, ἦσαν πρῶτον μὲν διὰ τῆς οἰκουμένης· ταύτην δὲ διεξελθόντες εἰς

τὴν θηριώδη ἀφίκοντο, ἐκ δὲ ταύτης τὴν ἔρημον διεξῆσαν, τὴν ὁδὸν ποιούμενοι πρὸς ζέφυρον ἄνεμον.

διεξελθόντες δὲ χῶρον πολὺν ψαμμώδη καὶ ἐν πολλαῖς ἡμέραις, εἶδον δή ποτε δένδρα ἐν πεδίῳ πεφυκότα, καὶ προσελθόντες ἥπτοντο τοῦ ἐπόντος ἐπὶ τῶν δενδρῶν καρποῦ· ἁπτομένοις δὲ αὐτοῖς ἐπῆλθον ἄνδρες μικροί, μετρίων ἐλάττονες ἀνδρῶν, λαβόντες δὲ ἦγον αὐτοὺς δι′ ἑλῶν μεγίστων, καὶ διεξελθόντες ταῦτα ἀφίκοντο εἰς πόλιν ἐν ᾗ πάντες ἦσαν ἴσοι τοῖς ἄγουσι τὸ μέγεθος, χρῶμα δὲ μέλανες. παρὰ δὲ τὴν πόλιν ἔρρει ποταμὸς μέγας, ἔρρει δ′ ἀφ′ ἑσπέρας πρὸς ἥλιον ἀνατέλλοντα, ἐφαίνοντο δὲ ἐν αὐτῷ κροκόδειλοι.

ὁ μὲν δὴ τοῦ Ἀμμωνίου Ἐτεάρχου λόγος εἰς τοῦτό μοι δεδηλώσθω, πλὴν ὅτι ἀπονοστῆσαί τε ἔφη τοὺς Νασαμῶνας, ὡς οἱ Κυρηναῖοι ἔλεγον, καὶ τοὺς ἀνθρώπους εἰς οὓς οὗτοι ἀφίκοντο γόητας εἶναι ἅπαντας. τὸν δὲ δὴ ποταμὸν τοῦτον Ἐτέαρχος συνεβάλλετο εἶναι τὸν Νεῖλον.